# TEZAUR LITURGIC

## 4 DECEMBRIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.MUCENICI HRISTODUL ŞI HRISTODULA

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 04 ΔΕΚΕΜΒΡΙΟΣ ΧΡΙΣΤΟΔΟΥΛΟΣ & ΧΡΙΣΤΟΔΟΥΛΗ ΜΑΡΤΥΡΕΣ ΑΚΟΛΟΥΘΙΕΣ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΕΣΠΕΡΙΝΟΣ

*Μετὰ τὸν Προοιμιακόν, ἡ α΄ στάσις τοῦ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τῶν Ἀθλητῶν τὴν δυάδα ὕμνοις τιμήσωμεν, τοὺς σταθηρᾷ καρδίᾳ, καὶ ὁμόφρονι γνώμῃ, ἀθλήσαντας νομίμως ὑπὲρ Χριστοῦ, καὶ τὸν ὄφιν αἰσχύναντας, σὺν Χριστοδούλῳ τῷ θείῳ καὶ εὐκλεεῖ, Χριστοδούλην τὴν πανεύφημον.

Ὁμωνυμίᾳ ἁγίᾳ καλλωπιζόμενοι, καὶ ἔργοις βεβαιοῦντες, τὴν φερώνυμον κλῆσιν, ἠθλήσατε νομίμως ὡς τοῦ Χριστοῦ, ἀληθῶς δοῦλοι γνήσιοι, σὺν Χριστοδούλῃ Χριστόδουλε Ἀθλητά, διὰ τοῦτο ἐδοξάσθητε.

Ὑπὲρ Χριστοῦ τῆς ἀγάπης στεῤῥῶς ἠνέγκατε, πᾶσαν βασάνων πεῖραν, ἀκλινεῖ διανοίᾳ, καὶ ξίφει ἐκτμηθέντες τὰς κεφαλάς, τὸν ἐχθρὸν ἐτροπώσασθε, ὦ Χριστοδούλη παρθένε νύμφη Χριστοῦ, καὶ Χριστόδουλε μακάριε.

*Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Ὡς τῇ κλήσει συνώνυμοι, ὁμοφρόνως ἠθλήσατε, τοῦ Χριστοῦ τὸν θάνατον μιμησάμενοι, ἀθανασίας τὸν πρόξενον, θεόφρον Χριστόδουλε, Ἀθλοφόρων καλλονή, Χριστοδούλη τε πάνσεμνε, καθαρώτατον, καὶ πολύτιμον σκεῦος παρθενίας, διὰ τοῦτο τῆς ἀλήκτου, ζωῆς ὁμοῦ ἠξιώθητε.

Τῇ σοφίᾳ τῇ ἄνωθεν, καὶ ψυχῆς ἀνδρειότητι, τοῦ Χριστοῦ τὴν σάρκωσιν ἐκηρύξατε, ἐπὶ ἀπίστων μακάριοι, καὶ τούτων τὴν ἄνοιαν, διηλέγξατε στεῤῥῶς, Χριστοδούλη θεόληπτε, καὶ Χριστόδουλε, καὶ τῷ ξίφει τμηθέντες τοὺς αὐχένας, τῶν Μαρτύρων ταῖς ἀγέλαις, περιφανῶς ἠριθμήθητε.

Ξυνωρὶς ἡ ὁμώνυμος, τῶν Μαρτύρων καὶ σύναθλος, τοῦ Χριστοῦ τὰ σφάγια τὰ ἀμώμητα, τῆς Ἐκκλησίας τὸ στήριγμα, πιστῶν τὸ κραταίωμα, καὶ μεσῖται πρὸς Χριστόν, καὶ προστάται θερμότατοι, ἀνυμνείσθωσαν, σὺν σεπτῷ Χριστοδούλῳ, Χριστοδούλη, οἱ οἰκοῦντες σὺν Ἀγγέλοις, καὶ τοὺς πιστοὺς περιέποντες.

*Δόξα. Ἦχος δ΄.*

Τῆς εὐσεβείας τοῖς σκάμμασι, σεαυτοὺς γυμνάσαντες, τῇ ὁμολογίᾳ τοῦ Χριστοῦ, λαμπροτέραν τὴν κλῆσιν εἰργάσασθε, Μάρτυρες ἔνδοξοι. Συνδεδεμένοι γὰρ τῇ χάριτι, καὶ ἐν πᾶσι καλῶς ὁμονοοῦντες, ἴσοι τοῖς ἄθλοις ὤφθητε, καὶ τοῖς στεφάνοις ἰσότιμοι, ἀλλ᾽ ὦ Χριστόδουλε καὶ Χριστοδούλη, Χριστὸν τὸν φιλάνθρωπον Θεόν, ἱκετεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον Ἦχος δ'*

Ὁ διὰ σὲ Θεοπάτωρ προφήτης Δαυΐδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι. Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου. Σὲ γὰρ μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρών, πρόβατον τοῖς ὤμοις ἀναλαβών, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρανίαις συνάψῃ Δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν κόσμον, Χριστὸς ὁ ἔχων, τὸ μέγα καὶ πλούσιον ἔλεος.

*Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.(Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν. Καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγὼ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς

ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγὼ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας, οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ

ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Ἀπόστιχα. Ἦχος πλ. Δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Μάρτυρες, Χριστοῦ καλλίνικοι, τῆς θεϊκῆς καλλονῆς, ἐκ ψυχῆς ἀγαπήσαντες, τὴν ὑπὲρ κατάληψιν, ἀληθῶς ὡραιότητα, τὰ ἐν τῷ κόσμῳ, κάλλη ἐλίπετε, καὶ ὁμοψύχως, πίστει ἠθλήσατε, ὅθεν ἐδόξασεν, Ἀθλητὰ Χριστόδουλε σὺν τῇ σεμνῇ, Χριστοδούλῃ Κύριος, ὑμῶν τὴν ἄθλησιν.

Στ.: *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις, ξυνωρὶς ὁμώνυμε, τῶν Ἀθλητῶν τοῦ Χριστοῦ, Χριστοδούλη θεόνυμφε, καὶ σοφὲ Χριστόδουλε, οἱ Χριστὸν ἀγαπήσαντες, ὑμεῖς γὰρ γνώμῃ μιᾷ ἀθλήσαντες, ἴσοις ἐπάθλοις, ἐμεγαλύνθητε, ὢ τῆς λαμπρότητος! ἧς κατηξιώθητε ἐν οὐρανοῖς, Ἀσωμάτων τάξεσι, συναυλιζόμενοι.

Στ.: *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Μάρτυς, ἀληθῆς τοῦ Ἰησοῦ, καθαροτάτων νοΐ, Χριστοδούλη πανεύφημε, βίου καθαρότητι, καὶ ἀθλήσεως αἵμασι, λαμπρῶς ἐδείχθης, καὶ προσεχώρησας, εἰς τὸν νυμφῶνα, τὸν ἐπουράνιον, ἔνθα ἱκέτευε, ὑπὲρ πάντων πάνσεμνε σὺν τῷ κλεινῷ, Χριστοδούλῳ πάντοτε, τῶν εὐφημούντων σε.

*Δόξα. Ἦχος πλ. Β΄.*

Ἀθλητικὴν ἐπιδειξάμενοι ἔνστασιν, τυραννικὴν κατεπατήσατε ὀφρὺν Μάρτυρες πανένδοξοι, ὅθεν Χριστὸς ὁ Κύριος, ὡς μύρον εὐωδίας, τὸ αἷμα ὑμῶν δεξάμενος, παθῶν δυσωδίας, καὶ νοσημάτων λύμης δι’ ὑμῶν λυτροῦται, τοὺς τιμῶντας ὑμῶν τὴν ἄθλησιν, ἀλλ’ ὦ Χριστόδουλε καὶ Χριστοδούλη, μὴ παύσησθε ἱλεούμενοι ἡμῖν, τὸν μόνον εὐδιάλλακτον.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν Ἀθλοφόρων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Δυάδα τὴν σύναθλον τῶν Ἀθλητῶν τοῦ Χριστοῦ, Χριστόδουλον μέλψωμεν, καὶ Χριστοδούλην ὁμοῦ, τὰ ἄνθη τῆς πίστεως, οὗτοι γὰρ τῇ ἀγάπῃ, πτερωθέντες τῇ

θείᾳ, ἤθλησαν ὁμοφρόνως, καὶ τὸν ὄφιν καθεῖλον, καὶ νῦν καθικετεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α´ στιχολογίαν,*

*κάθισμα. Ἦχος α´. Τὸν τάφον Σου Σωτήρ.*

Ὡς ἄστρα νοητά, τοῦ Ἡλίου τῆς δόξης, Χριστόδουλε σοφέ, καὶ Χριστοδούλη, ἐκλάμπετε τοῖς πέρασι, ταῖς αὐγαῖς τῆς ἀθλήσεως, καὶ διώκετε, τῆς ἀθυμίας τὸν ζόφον, ὅθεν σήμερον, τὴν φωταυγῆ ὑμῶν μνήμην, συμφώνως γεραίρομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Φωτὸς Τριαδικοῦ, πανυπέρφωτος οἶκος, Παρθένε Μαριάμ, παντευλόγητε Κόρη, τὸν νοῦν μου καταφώτισον, σκοτισθέντα τοῖς πάθεσι, καὶ συνέτισον, τὸν ἀσταθῆ λογισμόν μου, πράττειν πάντοτε, τὸ τοῦ Υἱοῦ Σου καὶ Κτίστου, πανάγιον θέλημα.

*Μετὰ τὴν β΄ στιχολογίαν,*
*κάθισμα. Ἦχος α΄. Χορὸς Ἀγγελικός.*

Ἀθλήσαντες ὁμοῦ, ὁμοψύχῳ καρδίᾳ, ᾔσχύνατε ἐχθρόν, τὸν δεινὸν ἀποστάτην, Χριστόδουλε ἔνδοξε, Χριστοδούλη τε πάνσεμνε, ὅθεν χαίροντες, ἄμφω τῆς δόξης τῆς ἄνω, ἠξιώθητε, ὑπὲρ ἡμῶν δυσωποῦντες, Χριστὸν τὸν φιλάνθρωπον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Σαρκὶ τῇ καθ’ ἡμᾶς, ἑνωθεὶς ὑπὲρ λόγον, ὁ Λόγος τοῦ Θεοῦ, ἐξ ἁγνῶν Σου αἱμάτων, Θεὸς ἅμα καὶ ἄνθρωπος, ἐκ γαστρός Σου γεγέννηται, καὶ ἐθέωσε, τὴν τῶν ἀνθρώπων οὐσίαν, ὡς φιλάνθρωπος, εὐλογημένη Μαρία, ἡμῶν καταφύγιον.

*Ὁ Ν΄ ψαλμός.*

*Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου· καὶ τῶν Ἁγίων.*
*ᾨδὴ α΄. Ἦχος πλ. Β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.*

Ταῖς φαϊνωτάταις ἀκτῖσι, τῆς τριλαμποῦς Ἀθλοφόροι Μάρτυρες, ἐλαμπόμενοι αὐγῆς φωτισμόν, αἰτήσασθαι ἡμῖν, τὴν πανέορτον ὑμῶν μνήμην γεραίροντες.

Ἡλιακὰς ἀπαστράπτει μαρμαρυγάς, ἡ σεπτὴ καὶ εὔσημος τῶν Μαρτύρων ἑορτή, καὶ τῆς γῆς τὰ πέρατα ἀεὶ καταυγάζει, μυστικῶς σθένει τοῦ Πνεύματος.

Νέῳ ἐν σώματι Μάρτυς τὸν παλαιόν, τῆς κακίας ἄρχοντα κατεπάλαισας στεῤῥῶς, ὑπομείνας βάσανα καὶ πῦρ καὶ δεινῶν ἐπιφοράς, μάκαρ Χριστόδουλε.

*Θεοτοκίον.*

Λελυτρωμένοι Παρθένε προγονικῆς, καταδίκης Ἄχραντε τῇ γεννήσει Σου σαφῶς, ἐν φωναῖς ᾀσμάτων σε ἀεί, μακαρίζομεν πιστοί, ὦ Θεομήτορα.

*ᾨδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος.*

Ἀγῶνας ἤνυσας στεῤῥῶς, ὑπομείνας βασάνους καὶ πικρὰς τιμωρίας τῶν μελλόντων ἀγαθῶν, τηρούμενος προφανῶς ταῖς ἐλπίσιν, ἔνδοξε Χριστόδουλε.

Μαρτύρων εὔκλειαν φαιδρά, περικείμενος Μάρτυς, καθορῶσά σε ὅλων τοῖς βασάνοις, ἑαυτὴν ἐκδέδωκε ἡ σεμνή, Χριστοδούλη ἀδελφὴ φρονοῦσά σοι.

Ποθήσας Μάρτυς τὸν Χριστόν, τὰ ὁρώμενα πάντα εἰς οὐδὲν ἡγήσω τῶν τυραννούντων ὁρμάς, Χριστόδουλε Ἀθλητά, ὀλεθρίους πίστει τροπωσάμενος.

*Θεοτοκίον.*

Ῥυσθῆναι πάσης πονηρᾶς, ἐναντίων ἐξόδου, καὶ παθῶν ψυχοφθόρων, καὶ κινδύνων χαλεπῶν, τοὺς Σὲ τιμῶντας ἀεί, Θεοτόκε πάναγνε ἱκέτευε.

*Κάθισμα. Ἦχος πλ. Δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τῶν βασάνων τὰ νέφη τὰ χαλεπά, Ἀθληταὶ παριδόντες καρτερικῶς, ὡς ἥλιος χάριτι, τοῦ Σωτῆρος ἐλάμψετε, ἀδελφικῇ στοργῇ δέ, ἐνθέως συνδούμενοι, ὁμοίοις πόνοις λαμπρῶς ἐδοξάσθητε, ὅθεν μετὰ τέλος, ἀτελεύτητον χάριν, ἐξ ὕψους ἐδέξασθε, θεραπεύειν νοσήματα, Ἀθλοφόροι αὐτάδελφοι, πρεσβεύσατε

Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὴν ψυχήν μου Παρθένε, τὴν ταπεινήν, τὴν ἐν ζάλῃ τοῦ βίου, τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην Πανάμωμε, ἁμαρτιῶν τε φόρτῳ, φανεῖσαν ὑπέραντλον, καὶ εἰς πυθμένα ᾅδου, πεσεῖν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τῇ θερμῇ σου πρεσβείᾳ, καὶ σῶσον παρέχουσα, τὸν λιμένα τὸν εὔδιον, ἵνα πίστει κραυγάζω σοι· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

*ᾨδὴ δ΄. Χριστός μου δύναμις.*

Ἀγρίων χάσματα, θηρῶν ἐφιμώσεις, ἐπικλήσεσι θεῖες, ἀγγελικῇ δόξῃ καλλυνόμενος, καὶ μαρτυρίου ἱεραῖς φωταυγίες λαμπρυνόμενος.

Ναὸν σὲ ἔμψυχον, ναὸν Πανάγιον, ἡ τοῦ Πνεύματος χάρις, Μάρτυς σοφέ, εὕρατο Χριστόδουλε, ᾧ κραταιούμενος ναούς, τῶν εἰδώλων κατηδάφισας.

Ὑπῆρξας ἄσειστος, ἀκαταπτόητος, ἀπερίτρεπτος, πάσαις ἐπιβουλαῖς χαλεπῶν κολάσεων, κραταιούμενη ἐν Χριστῷ, Χριστοδούλη παναοίδιμε.

Μαρτύρων αἵμασι, καλλωπιζόμενοι, καὶ ὁμονοίᾳ, πίστει ἀδελφικῇ, σώζοντες μακάριοι, τῶν διωκτῶν τὰς ζοφερὰς ἐπινοίας διεκρούσασθε.

*Θεοτοκίον.*

Νοήσας πόῤῥωθεν, ἐμφαντικώτατα Ἀββακούμ, Σὲ ἐκάλει ὄρος Ἁγνή, ἀρεταῖς κατάσκιον, ἐξ Οὗ ἐπέφανεν ἡμῖν, ὁ φωτίζων τὰς ψυχὰς ἡμῶν.

*Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει Σου Ἀγαθέ.*

Ὡς ὄρθρος ἔλαμψας εὐπρεπής, ὡς ἡμερινὸς ὄντως ἀστήρ, ὡς φαεινότατος ἄθλων, καὶ σημείων μαρμαρυγαῖς, τοὺς πιστοὺς ἐνθέως καταυγάζων, Μάρτυς δοῦλε.

Μεγίστοις πόνοις, ἐγκαρτερῶν, καὶ τὰς ἀνενδότους τῶν δεινῶν ἐπιφορὰς λογιζόμενος Μάρτυς, ὡς ἡδύστας τρυφὰς Χριστόδουλε, τὰς θείας ἀντιδόσεις χαίρων κεκλήρωσαι.

Αἱμάτων ῥεῖθρα, Μάρτυς σεμνή, χέουσα ἐκτήσω τῆς τρυφῆς, σὺ τὸν χείμαῤῥον πανεύφημε, καὶ τὴν δι’ αἰῶνος, δόξαν ἀμάραντον, καὶ τὴν ἐν Παραδείσῳ τερπνὴν ἀπόλαυσιν.

*Θεοτοκίον.*

Ῥομφαίαι πᾶσαι τοῦ δυσμενοῦς, ἄχραντε πανάμωμε ἁγνή, ὄντως εἰς τέλος ἐξέλιπον, Σὺ γὰρ τῶν ἁπάντων, Θεὸν ἐκύησας, τῷ Σταυρῷ καθελόντα τούτου τὸ φρύαγμα.

*Ὠδὴ στ΄. Τοῦ βίου τὴν θάλασσαν.*

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, καὶ τοῖς θηρσὶ ῥιπτόμενοι, μεληδὸν κοπτόμενοι, καὶ πυρὶ

ἐν ὅλῳ φλεγόμενοι, τὴν ἀμώμητον πίστιν, οὐκ ἠρνήσασθε.

Ὑψούμενα κύματα τῶν κολάσεων, σφοδρῶς δικαστικαῖς προστάγμασι, τὸ σταθερὸν τῆς γνώμης τῶν Ἀθλητῶν, βυθίσαι οὐκ ἴσχυσε, τῇ γὰρ θείᾳ παλάμῃ ἐκρατύνοντο.

Ῥοαῖς ἀπεωνίζατε, Φαραὼ τὸν δυσμενῆ, τοῦ ἐκχυθέντος αἵματος, τὴν δὲ Χριστοῦ ἠρδεύσατε εὐσεβῶς, ἀήττητοι Μάρτυρες, Ἐκκλησίαν τὴν πίστει ἀναθάλλουσαν.

*Θεοτοκίον.*

Ὡς ὄμβρος κεκένωται, ἐν τῇ μήτρᾳ Σου, Θεὸς δι' εὐσπλαγχνίαν ἄφατον καὶ τὸν χειμάῤῥουν ἅπαντες τῆς τρυφῆς, ἐπότισε Δέσποινα, καὶ τὴν κτίσιν φθαρεῖσαν ἐκαινούργησεν.

*Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.*

Τοὺς γενναίους Μάρτυρας, καὶ ἀδελφοὺς κατὰ σάρκα, τὸν σοφὸν Χριστόδουλον, καὶ Χριστοδούλην τιμῶμεν, οὗτοι γάρ, τῶν τυραννούντων μηχανουργίας, ᾔσχυναν, τῇ δυναστείᾳ τοῦ σταυρωθέντος, ἀνεδείχθησαν διόπερ, Μαρτύρων δόξα, ὁμοῦ καὶ καύχημα.

*Ὁ Οἶκος.*

Τὴν δυάδα πιστοὶ τῶν Ἀθλοφόρων σήμερον, ἐν ᾠδαῖς ἱεραῖς καὶ ὕμνοις εὐφημήσωμεν, ὅτι τῶν εἰδώλων καθεῖλον τὴν πλάνην, πολυθεΐας τὸ πῦρ κατασβέσαντες καὶ δαίμονες ᾔσχυναν, τῶν δὲ

τυράννων τὸν θυμὸν οὐκ ἔπτυξαν, ξίφη τε καὶ πῦρ δειλιάσαντες, οὔτε θηρίων ἀγρίων ὁρμάς, ἀγωνισάμενοι, καλῶν Χριστόδουλος εὐκλεής, σὺν τῇ σεπτῇ Χριστοδούλῃ, ἀδελφοὶ σύναθλοι, δειχθέντες Μαρτύρων, ὁμοῦ καὶ καύχημα.

*Συναξάριον*

Τῇ Δ' τοῦ αὐτοῦ μηνός, οἱ Ἅγιοι Μάρτυρες Χριστόδουλος καὶ Χριστοδούλη ξίφει τελειοῦνται.

*Συνωνυμῶν σοι, παρθένε Χριστοδούλη,*
*Ὁ Χριστόδουλος, καὶ συναθλεῖ σοι ξίφει.*

*ᾨδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.*

Νεανίαις τρεῖς ἐν χάριτι μιμούμενοι, τὸ πῦρ κατεπατήσατε, δροσιζόμενοι τῷ ἀΰλῳ Πνεύματι πυρί, καὶ ψάλλοντες Μάρτυρες Χριστῷ· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ζεομένης τῆς σαρκός, ἡ πρὸς τὸν κτίσαντα ἀγάπῃ ἐκρατύνετο, οἱ γὰρ Ἅγιοι ὁλοτρόπῳ νεύσει πρὸς τὸν Θεὸν θεούμενοι, ἔμελπον πιστῶς· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπεριδῶν σου καρδίας τὰ κινήματα, ταῖς θείαις ἀναβάσεσιν ἐν ἀσαλεύτῳ Ἀθλοφόρε, πέτρα τῆς ζωῆς, ἀκλόνητος ἵστασο βοῶν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Νεανίαις τρεῖς ἡ κάμινος οὐκ ἔφλεξεν, γέννησιν προτυποῦσα τὴν Σήν, τὸ γὰρ θεῖον πῦρ μὴ φλέξας

ᾤκησεν ἐν Σοί, καὶ πάντας ἐφώτισε βοᾶν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*ᾨδὴ η΄. Ἐκ φλογός.*

Ὡραιότατος ὤφθης ψυχῇ καὶ σώματι, τῶν βασάνων νιφάσι καταχωννύμενος, Μάρτυς Ἀθλητά, οὐδαμῶς δὲ ἡττώμενος, μέλπεις τῷ Δεσπότῃ Χριστῷ, εἰς τοὺς αἰῶνας.

Ῥητορεύοντες ἅμα λόγον τὸν ἔνθεον, ἐξεφαύλισαν πόθῳ δόγμα τὸ ἄθεον, οἱ ἀδελφικῇ ἀγχιστείᾳ συνδούμενοι, Μάρτυρες τοῦ πάντων Θεοῦ καὶ Βασιλέως.

Ἱερεῖα καὶ θεῖα ὁλοκαυτώματα, ἐθελόφυτοι ἄρμες, ἄμωμα σφάγια, κάρπωμα δεκτῷ τῷ Θεῷ προσηνέχθητε, ἐν ἐπουρανίῳ τραπέζῃ Ἀθλοφόροι.

Διαυγῆ σὲ ἀστέρα, φωτοειδέστατον ἴαμα, κτίσιν καταλαμπρύνοντα, πάντων τὰς ψυχὰς Ἀθλοφόρε Χριστόδουλε, πίστει ἐγνωκότες, ὑμνοῦμεν εἰς αἰῶνας.

*Θεοτοκίον.*

Ἀπειρόγαμε Κόρη, χαῖρε Πανάμωμε, ὁ λιμὴν τῶν ἐν ζάλῃ, χαῖρε Θεόνυμφε, τῶν ἁμαρτωλῶν χαῖρε τὸ ἱλαστήριον, χαῖρε ἡ τεκοῦσα Θεὸν σεσαρκωμένον.

*ᾨδὴ θ΄. Θεὸν ἀνθρώποις.*

Ἰδεῖν τὴν δόξαν τοῦ Παντοκράτορος, ἐπιποθῶν καὶ κάλλος Αὐτοῦ τὸ ἀμήχανον, ἀδοξίαν τοῦ βίου παρέδραμες, ἄτιμον ὑπομείνας θάνατον ἔνδοξε, δόξα προξενοῦντά σοι, ἀεὶ Μάρτυς Χριστόδουλε.

Ὡς φῶς, ὡς λύχνον ἀειλαμπέστατος, τοῖς ἐν νυκτὶ τοῦ βίου καθωράθης Χριστόδουλε, ἀγνωσίας τὸ σκότος ἐδίωξας, ἔλυσας παθημάτων τὴν ἀμαυρότητα, φέγγεις ἰαμάτων Ἀθλητὰ θεομακάριστε.

Στολαῖς βαφείσας ὑμ ν ἐξ αἵματος, μαρτυρικοῦ, ὡραίους ἑαυτοὺς περιστείλαντες, στεφηφόροι Κυρίῳ παρίστασθε, μέλποντες σὺν Ἀγγέλοις· Ἅγιος, Ἅγιος, Ἅγιος, Τριὰς ἡ παντουργός, καὶ παντοδύναμος.

Ἡμῶν τῇ πίστει τὴν ἀεισέβαστον, καὶ ἱεράν, καὶ πλήρη φωτισμοῦ καὶ λαμπρότητος, Ἀθλοφόροι Μάρτυρες, τελούντων ὑμῶν τὴν μνήμην, καὶ προσκυνοῦμεν πίστει τὰ λείψανα, μέμνησθε παντοίων πειρασμῶν, πάντας λυτρούμενοι.

*Θεοτοκίον.*

Φωτὸς δοχεῖον, τοῦ ἀναλάμψαντος θεοπρεπῶς, ἐκ Σοῦ τῆς καθαρᾶς παναμώμητε, ψυχῆς μου τὰ ὄμματα φώτισον, σκότος τῆς ἀγνωσίας ἀποδιώκουσα, καὶ τῆς ἁμαρτίας τὴν ἀχλὺν ἐξαφανίζουσαν.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Τῶν Ἀθλητῶν τιμήσωμεν, δυάδα τὴν συνώνυμον, τῆς Παναγίας Τριάδος, τοὺς εὐκλεεῖς ἀριστέας, καὶ πρεσβευτὰς πρὸς Κύριον, ἡμῶν καὶ ἀντιλήπτορας, Χριστόδουλον τὸν ἔνδοξον, καὶ τὴν σεμνὴν Χριστοδούλην, τῆς παρθενίας τὸ ῥόδον.

*Θεοτοκίον.*

Ἀσπόρως σωματώσασα, ἀφθόρως Κόρη τέτοκας, τὸν Βασιλέα τῆς δόξης, καὶ Κύριον τῶν ἁπάντων, Ὃν οἱ

γενναῖοι Μάρτυρες, λαμπρῶς καθομολόγησαν, καὶ δι' Αὐτὸν τὸν θάνατον, ὑπέμειναν γηθοσύνως, Θεογεννῆτορ Παρθένε.

*Αἶνοι. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.*

Μίαν κλῆσιν φέροντες, οἱ Ἀθλοφόροι οἱ ἔνδοξοι, μίαν γνώμην ἐκτήσαντο, θανεῖν προθυμότατα, ὑπὲρ τοῦ τῶν ὅλων, Θεοῦ καὶ Δεσπότου, ὅθεν ζωῆς τῆς παρ' Αὐτῷ, καὶ ἀϊδίου δόξης ἐπέτυχον, Χριστόδουλος ὁ ἔνθεος, καὶ Χριστοδούλη ἡ πάντιμος, οὓς συμφώνως γεραίροντες, τὸν Χριστὸν μεγαλύνομεν.

Ἤθλησαν στεῤῥότατα, τῇ παντευχίᾳ τῆς πίστεως, καὶ ἐχθρὸν κατεπάτησαν, οἱ Ἅγιοι Μάρτυρες, καὶ βραβεῖα νίκης, παρὰ τοῦ Σωτῆρος, ἐδέξαντο θεουργικῶς, μεγαλυνθέντες θείοις χαρίσμασι, Χριστόδουλος ὁ ἔνδοξος, καὶ Χριστοδούλη ἡ πάνσεμνος, ὧν τὴν μνήμην γεραίροντες, τὸν Χριστὸν μεγαλύνομεν.

Νύμφη πανακήρατος, οἷα παρθένος ἀμόλυντος, Χριστοδούλη θεόληπτε, Χριστοῦ ἀναδέδειξαι, ὑπὲρ Οὗ προθύμως, τὸ αἷμά σου Μάρτυς, ἐξέχεας μαρτυρικῶς, καὶ συναθλοῦντά σοι ἔσχες πάνσεμνε, Χριστόδουλον τὸν ἔνδοξον, μεθ' οὗ ἀπαύστως ἱκέτευε, τὸν Σωτῆρα δωρήσασθαι, ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

Μάρτυρες συνώνυμοι, καὶ Ἀθλοφόροι ἀήττητοι, Χριστοδούλη θεόνυμφε, καὶ θεῖε Χριστόδουλε, Χριστὸν τὸν Σωτῆρα, ἀεὶ δυσωπεῖτε, ὡς παῤῥησίαν πρὸς Αὐτόν, πολλὴν πλουτήσαντες παμμακάριστοι,

δοθῆναι ἡμῖν ἅπασιν, ἀπαλλαγὴν πάσης θλίψεως, καὶ πταισμάτων συγχώρησιν, τοῖς ὑμᾶς μακαρίζουσι.

*Δόξα. Ἦχος πλ. Α΄.*

Τὸ πῦρ τῆς θείας ἀγάπης, ἐν τῇ καρδίᾳ φέροντες, ξένην ἀνδρείαν ἐπεδείξασθε, ἐν τῷ σταδίῳ τῆς ἀθλήσεως, ἀγαλλομένῃ γὰρ ψυχῇ, τῷ ξίφει τὸν αὐχένα κλίναντες, τοὺς ἐχθροὺς ἐξεπλήξατε, τοῦ δὲ Χριστοῦ τὸν θάνατον, ἀληθῶς ἐδοξάσατε, ἀλλ’ ὡς ἀθανάτου δόξης κοινωνοί, Χριστόδουλε καὶ Χριστοδούλη, θανάτου ἁμαρτίας ἡμᾶς ῥύσασθε, αἰτούμενοι ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις τῶν Μαρτύρων ἡ ξυνωρίς, Χριστόδουλε μάκαρ, Ἀθλοφόρων ὁ κοινωνός, χαίροις Χριστοδούλη, Χριστοῦ ὡραία νύμφη, σεμνὴ Παρθενομάρτυς, ἀξιοθαύμαστε.

